# ΣΑΒΒΑΤΟΝ τῆς ΤΥΡΙΝΗΣ

## Πάντες οἱ ἐν ἀσκήσει λάμψαντες ἄνδρες καὶ γυναῖκες, Ὅσιοι



*Μικρογραφία (ΙΕ΄-ΙϚ΄ αἰ.), Ἀπόστολος, κώδ. ΓΠБ F 1, 60, φ. 265β, Κρατικὴ Δημόσια Βιβλιοθήκη, Μόσχα.*

**Ἀπολυτίκιον.** Ἦχος δ΄.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, Ὁ ποιῶν ἀεὶ μεθ᾽ ἡμῶν κατὰ τὴν Σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός Σου ἀφ᾽ ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

**Θεοτοκίον.** Ἦχος ὁ αὐτός.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτός, ἀγγελικοῖς Σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

**Κοντάκιον.** Ἦχος πλ. δ΄.
Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς εὐσεβείας κήρυκας, καὶ ἀσεβείας φίμωτρα, τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας, Κύριε, τὴν ὑφήλιον λάμποντα. Ἐν εἰρήνῃ τελείᾳ, ταῖς αὐτῶν ἱκεσίαις, τοὺς Σὲ δοξάζοντας καὶ μεγαλύνοντας, διαφύλαξον, ψάλλειν καὶ ᾄδειν Σοι· Ἀλληλούϊα.

**Στίχοι.**

Ψυχαῖς Δικαίων, ὧν ἀεὶ μνήμη μένει,
Χοὰς μενούσας, προσκομίζω τοὺς λόγους.

### Τῷ Σαββάτῳ τῆς Τυρινῆς

*(Ρωμ. ιδ΄ 19-23, ιϚ΄ 25-27· Ματθ. Ϛ΄ 1-13)*

**Μνήμην** ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν.

Ἀφοῦ ἐπαιδαγώγησαν ἡμᾶς οἱ θεοφόροι Πατέρες δι᾽ ὧν εἴπομεν εἰς τὰς προλαβούσας ἑορτάς, καὶ κατ᾽ ὀλίγον ἡτοίμασαν εἰς τὸ στάδιον τῶν πνευματικῶν ἀγώνων, ἰδοὺ προβάλλουσιν ἤδη καὶ τοὺς θεαρέστως βιώσαντας ἄνδρας τε καὶ γυναῖκας ὁμοῦ· ἵνα διὰ τοῦ παραδείγματος τούτων ποιήσωσιν ἡμᾶς προθυμοτέρους εἰς τὴν ἐργασίαν τῶν ἀρε-τῶν, καὶ κατὰ τῶν παθῶν ἀνδρειοτέρους.

Καὶ καθὼς οἱ ἔμπειροι στρατηγοί, ὅταν τὰ στρατεύματα ἑτοιμασθῶσιν εἰς μάχην ἵστανται ἤδη κατὰ πρόσωπον, καὶ οὐ μόνον διὰ λόγου προτρέπουσι τοὺς ἑαυτῶν στρατιώτας, ἀλλὰ καὶ ἀνδρῶν ἀρίστων ἀνδραγαθίας ἀναφέρουσιν εἰς αὐτούς, ἐξ ὧν ἐγκαρδιούμενοι ἐκεῖνοι



*Εἰκονογραφικὸν σχέδιον διὰ χειρὸς Φωτίου Κόντογλου († 1965).*

ὁρμῶσιν ὁλοψύχως κατὰ τῶν ἐχθρῶν· οὕτω καὶ οἱ θεοφόροι Πατέρες ποιοῦσι νῦν εἰς ἡμᾶς, διορίσαντες σήμερον κοινὴν μνήμην καὶ ἑορτὴν πάντων τῶν Ἁγίων, ὅσοι διὰ κόπων πολλῶν νικήσαντες τὰ πάθη, εὐηρέστησαν τῷ Θεῷ· ἵνα καὶ ἡμεῖς πρὸς τὴν ζωὴν ἐκείνων ἀποβλέποντες, ἀγωνιζώμεθα γενναίως κατὰ τῶν παθῶν καὶ τὰς διαφόρους ἀρετὰς ἐργαζώμεθα, μιμούμενοι αὐτοὺς ὅσον τὸ δυνατόν, ἀναλογιζόμενοι, ὅτι ἄνθρωποι ἦσαν καὶ τὴν αὐτὴν ἡμῖν εἶχον φύσιν.

❖